κέων· καὶ γὰρ οἶμαι αὐτοὺς ἤδη κατατετρῖφθαι διαθρυλλουμένους ὑπὸ σοῦ. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, καὶ τῶν ἑπομένων τούτοις, τοῦ τε δικαίου καὶ τοῦ ὁσίου καὶ τῶν ἄλλων τῶν τοιούτων; Ναὶ μὰ Δί', ἔφη ὁ Χαρικλῆς, καὶ τῶν βουκόλων γε· εἰ δὲ μή, φυλάττου, ὅπως
μὴ καὶ σὺ ἐλάττους τὰς βοῦς ποιήσῃς. Ἔνθα καὶ 38
δῆλον ἐγένετο, ὅτι, ἀπαγγελθέντος αὐτοῖς τοῦ περὶ τῶν βοῶν λόγου, ὠργίζοντο τῷ Σωκράτει. Οἵα μὲν οὖν ἡ συνουσία ἐγεγόνει Κριτίᾳ πρὸς Σωκράτην, καὶ
ὡς εἶχον πρὸς ἀλλήλους, εἴρηται. Φαίην δ' ἂν 39
ἔγωγε, μηδενὶ μηδεμίαν εἶναι παίδευσιν παρὰ τοῦ μὴ ἀρέσκοντος. Κριτίας δὲ καὶ Ἀλκιβιάδης, οὐκ ἀρέσκοντος αὐτοῖς Σωκράτους, ὡμιλησάτην, ὃν χρόνον ὡμιλείτην αὐτῷ, ἀλλ' εὐθὺς ἐξ ἀρχῆς ὡρμηκότε προεστάναι τῆς πόλεως. ἔτι γὰρ Σωκράτει συνόντες οὐκ ἄλλοις τισὶ μᾶλλον ἐπεχείρουν διαλέγεσθαι ἢ τοῖς

κατατετρῖφθαι διαθρυλλ.] Bessario vertit: *obtusae factae sunt aures eis a tua loquacitate*, rectius quam Leonclauius: *arbitror iam confici obtusos loquacitate tua.*

τῶν ἑπομένων] Nam, vt canit Theognis, Πολλοὶ μὲν πλουτοῦσι κακοί, ἀγαθοὶ δὲ πένονται, et, auctore Antiphane apud Stobaeum p. 514, Πενία γάρ ἐστιν ἡ τρόπων διδάσκαλος. Et Maximus Tyr. Diss. VII, 9, Γεγόνασιν, inquit, αἱ παρὰ τῆς τύχης συμφοραὶ πρὸς φιλοσοφίαν ἐφόδια etc.

τούτοις] Iunt. τοῖς, perperam.

ἄλλων τῶν δικαίων] Quomodo δικαίων, cum ante iam sit δικαίου? Nempe, non sunt ἄλλα δίκαια, sed ἄλλα τῶν δικαίων, *contraria iustis*, i. e. ἄδικα, vt bene monuit Cl. Hindeburgius. Sic et IV, 4, 25. *Ern.* Ad hunc graecismum probandum laudat idem Hindeb. illud Phaedri Prol. III, 41: *Quod si accusator* alius *Seiano foret:* et Bosii Ell. p. 474, ed. Schw. Praestat legere cum Paris. 1 τοιούτων, quod recepi.

βουκόλων] Intelliguntur οἱ προστάται τῆς πόλεως, quos Socrates supra §. 32 cum *bubulcis* comparauerat. Ipse etiam monetur Socrates, ne gregem minuat morte sua.

§. 39. ὡμιλείτην] Paris. 1 ὡμιλησάτην, quod equidem praetulerim.

ἔτι γὰρ] Miror, quod sunt, qui γὰρ delendum putent, quia alias oratio non satis constet; nam ὡρμηκότε non habere verbum quocum cohaereat. Imo habet: nam refertur ad ὡμιλησάτην, seu potius ὡμιλησάτην reperi debet. Sic Cyrop. I, 5, 3 est: Οἱ μὲν δὴ καὶ τοῖς λόγοις τούτοις πειθόμενοι, συμμαχίαν αὐτῷ ποιοῦνται· οἱ δὲ καὶ δώροις καὶ χρήμασιν ἀναπειθόμενοι etc. repete in posteriori membro συμμαχίαν ποιοῦνται αὐτῷ. Cf. ibid. ad I, 6, 40: III, 1, 16: V, 3, 12 etc.

οὐκ ἄλλοις τισὶ] *Non cum aliis vllis.* τὶς post adiectiua fere habet vim intendendi. Sic §. 42 οὐδέν τι χαλεποῦ πρ. ε. *cupis rem plane nihil*